ἐπεὶ αἱ ὑπὸ ΑΒΓ ΑΓΒ γωνίαι δύο ὀρθῶν ἐλάττονές εἰσιν·
ἴση δὲ ἡ ὑπὸ ΑΓΒ τῇ ὑπὸ ΔΕΓ· αἱ ἄρα ὑπὸ ΑΒΓ ΔΕΓ — ἀ τ̊ ιζ τ̆ α:
δύο ὀρθῶν ἐλάττονές εἰσιν· αἱ ΒΑ ΕΔ ἄρα ἐκβαλλόμεναι
συμπεσοῦνται· ἐκβεβλήσθωσαν καὶ συμπιπτέτωσαν
κατὰ τὸ Ζ· καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΔΓΕ γωνία τῇ
ὑπὸ ΑΒΓ· παράλληλος ἄρα ἐστὶν ἡ ΒΖ τῇ ΓΔ· πάλιν — ἀ τ̊ κη τ̆ α:
ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΑΓΒ τῇ ὑπὸ ΔΕΓ· παράλληλός ἐστιν
ἡ ΑΓ τῇ ΖΕ· παραλληλόγραμμον ἄρα ἐστὶ τὸ ΖΑΓΔ·
ἴση ἄρα ἡ μὲν ΖΑ τῇ ΔΓ· ἡ δὲ ΑΓ τῇ ΖΔ· καὶ ἐπεὶ τριγώνου — ἀ τ̊ λδ τ̆ α:
τοῦ ΒΖΕ παρὰ μίαν τὴν ΖΕ ἦκται ἡ ΑΓ· ἔστιν
ἄρα ὡς ἡ ΒΑ πρὸς ΑΖ, οὕτως ἡ ΒΓ πρὸς ΓΕ· ἴση δὲ
ἡ ΑΖ τῇ ΓΔ· ὡς ἄρα ἡ ΒΑ πρὸς ΓΔ, οὕτως ἡ ΒΓ — ἀ τ̊ β τ̆ ς:
πρὸς ΓΕ· καὶ ἐναλλὰξ ὡς ἡ ΑΒ πρὸς ΒΓ, οὕτως ἡ
ΔΓ πρὸς ΓΕ· πάλιν ἐπεὶ παράλληλός ἐστιν ἡ ΓΔ τῇ
ΒΖ· ἔστιν ἄρα ὡς ἡ ΒΓ πρὸς ΓΕ, οὕτως ἡ ΖΔ πρὸς — ἀ τ̊ ις τ̆ ε
ΔΕ· ἴση δὲ ἡ ΖΔ τῇ ΑΓ· ὡς ἄρα ἡ ΒΓ πρὸς ΓΕ, οὕτως
ἡ ΑΓ πρὸς ΔΕ· ἐναλλὰξ ἄρα ὡς ἡ ΒΓ πρὸς
ΓΑ, οὕτως ἡ ΓΕ πρὸς ΕΔ· ἐπεὶ οὖν
ἐδείχθη ὡς μὲν ἡ ΑΒ πρὸς ΒΓ, οὕτως
ἡ ΔΓ πρὸς ΓΕ· ὡς δὲ ἡ ΒΓ πρὸς
ΓΑ, οὕτως ἡ ΓΕ πρὸς ΕΔ· δι' ἴσου
ἄρα ὡς ἡ ΒΑ πρὸς ΑΓ, οὕτως ἡ ΓΔ — ἀ τ̊ κβ τ̆ ε:
πρὸς ΔΕ· τῶν ἄρα ἰσογωνίων τριγώνων
ἀνάλογόν εἰσιν αἱ πλευραὶ αἱ
περὶ τὰς ἴσας γωνίας καὶ ὁμόλογοι αἱ ὑπὸ τὰς ἴσας
γωνίας πλευραὶ ὑποτείνουσαι· ὅπερ ἔδει δεῖξαι:



[illegible]

ὡς ἡ ΑΒ πρὸς τὴν ΔΕ, οὕτως ἡ ΒΓ πρὸς τὴν ΕΖ· ἐναλλὰξ [illegible]



ε

ἐὰν δύο τρίγωνα τὰς πλευρὰς ἀνάλογον ἔχῃ· ἰσογώνια
ἔσται τὰ τρίγωνα καὶ ἴσας ἕξει τὰς γωνίας ὑφ' ἃς αἱ ὁμόλογοι
πλευραὶ ὑποτείνουσιν· ἔστω δύο τρίγωνα τὰ ΑΒΓ
ΔΕΖ τὰς πλευρὰς ἀνάλογον ἔχοντα· ὡς μὲν τὴν ΑΒ
πρὸς ΒΓ, οὕτως τὴν ΔΕ πρὸς ΕΖ· ὡς δὲ τὴν ΒΓ πρὸς
ΓΑ, οὕτως τὴν ΕΖ πρὸς ΖΔ· καὶ ἔτι ὡς τὴν ΒΑ πρὸς ΑΓ,
οὕτως τὴν ΕΔ πρὸς ΔΖ· λέγω ὅτι ἰσογώνιόν ἐστι τὸ ΑΒΓ
τρίγωνον τῷ ΔΕΖ τριγώνῳ· καὶ ἴσας ἕξουσι τὰς γωνίας
ὑφ' ἃς αἱ ὁμόλογοι πλευραὶ ὑποτείνουσιν· τὴν
μὲν ὑπὸ ΑΒΓ τῇ ὑπὸ ΔΕΖ· τὴν δὲ ὑπὸ ΒΓΑ τῇ ὑπὸ
ΕΖΔ· καὶ ἔτι τὴν ὑπὸ ΒΑΓ τῇ ὑπὸ ΕΔΖ· συνεστάτω γὰρ
πρὸς τῇ ΕΖ εὐθείᾳ καὶ τοῖς πρὸς αὐτῇ σημείοις τοῖς Ε Ζ·
τῇ μὲν ὑπὸ ΑΒΓ γωνίᾳ ἴση ἡ ὑπὸ ΖΕΗ· τῇ δὲ ὑπὸ — ἀ τ̊ κγ τ̆ α:
ΑΓΒ ἴση ἡ ὑπὸ ΕΖΗ· λοιπὴ ἄρα ἡ ὑπὸ ΒΑΓ λοιπῇ τῇ
ὑπὸ ΕΗΖ ἐστὶν ἴση· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον
τῷ ΖΕΗ τριγώνῳ· τῶν ἄρα ΑΒΓ ΖΕΗ τριγώνων — ἀ τ̊ δ τ̆ ς:
ἀνάλογόν εἰσιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας καὶ
ὁμόλογοι αἱ ὑπὸ τὰς ἴσας γωνίας πλευραὶ ὑποτείνουσαι·
ἔστιν ἄρα ὡς ἡ ΑΒ πρὸς ΒΓ, οὕτως ἡ ΗΕ πρὸς ΕΖ·
ἀλλ' ὡς ἡ ΑΒ πρὸς ΒΓ, οὕτως ὑπόκειται ἡ ΔΕ πρὸς ΕΖ·
ὡς ἄρα ἡ ΔΕ πρὸς ΕΖ, οὕτως ἡ ΗΕ πρὸς ΕΖ· ἑκατέρα — ἀ τ̊ ια τ̆ ε:
ἄρα τῶν ΔΕ ΗΕ πρὸς τὴν ΕΖ τὸν αὐτὸν ἔχει λόγον·
ἴση ἄρα ἐστὶν ἡ ΔΕ τῇ ΗΕ· διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΔΖ τῇ — ἀ τ̊ θ τ̆ ε:
ΗΖ ἐστὶν ἴση· ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΔΕ τῇ ΕΗ· κοινὴ δὲ
ἡ ΕΖ· δύο δὴ αἱ ΔΕ ΕΖ δυσὶ ταῖς ΗΕ ΕΖ ἴσαι εἰσίν· καὶ
βάσις ἡ ΔΖ βάσει τῇ ΖΗ ἐστὶν ἴση· γωνία ἄρα ἡ ὑπὸ ΔΕΖ — ἀ τ̊ η τ̆ α:



BIBLIOTHECA BODLEIANA

EUCLID *Elementa* BYZANTINE, 888 THE BODLEIAN LIBRARY Octavo